# 17 NOIEMBRIE

# PARACLISUL SF.IERARH GHENADIE AL CONSTANTINO-POLULUI

# PARACLISIER-GR


С҃ТЫЙ ГЕННА́ДІЙ
ЦАРЕГРА́ДСКІЙ
© ikona-kiot.ru

# Παρακλητικός Κανών
# Ἁγίου ΓΕΝΝΑΔΙΟΥ
# Πατριάρχου ΚΠόλεως

**Μελάνης Μοναχῆς-Ἱ. Μονὴ Παναγίας Μπούρα**

Εὐλογὴσαντος τοῦ Ἱερέως ὁ ρνβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος πλ. δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ Ἱεράρχῃ τοῦ Χριστοῦ Γενναδίῳ, Ὀρθοδοξίας τῶν δογμὰτων τῷ στύλῳ, Ποιμὲνι πρώτης πόλεων καὶ Κύπρου φωτί, δεῦτε ἱκετεύσωμεν πρὸς αὐτὸν ἐκβοῶντες· σπεῦσον Ἁγιώτατε τῇ θερμῇ σου πρεσβείᾳ, καὶ ἐκ παντοίων λύτρωσαι δεινῶν, ἅμφω ψυγέντας, ἁμαρτίαις τοὺς δούλους σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ὑμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄(50) Ψαλμός.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *ΙΚΕΣΙΑ ΘΕΡΜΗ ΙΕΡΟΜΥΣΤΗ ΓΕΝΝΑΔΙΩ. Μ*(ελάνης) *Μ*(οναχῆς).

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἰσχὺν μοι παράσχου Πάτερ σεπτέ, ἐξ ὅλης καρδίας, τοῦ φανῆναί με ὑμνωδόν, τῆς σῆς ὑπὲρ φύσιν πολιτείας, καὶ σῶν θαυμάτων ἐσμοῦ θείας χάριτος.

Κρειττόνων ἐφέσεσιν ἀγαθὲ, ἰθύνεις καρδίας τῶν ποθούντων ἐκστατικῶς, ἐν ἔρωτι θείῳ συναφθῆναι, Χριστῷ ἐρῶντι ψυχὰς τῶν τιμώντων σε.

Ἐλέους τοῦ θείου πεῖραν λαβὼν, ἐλὲησον Πάτερ, τοὺς ποθοῦντας πανευλαβῶς, τὰ ἴχνη τῆς θείας βιωτῆς σου, ἀκολουθῆσαι πρὸς τρίβον οὐράνιον.

Θεοτοκίον.

Σωτῆρα τεκοῦσάν Σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν, Σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἰατῆρα νοσούντων, ἐκ παγετοῦ Ὅσιε, καὶ κεκακωμένων ἐκ ψύχους, σὲ ἐπιστάμεθα· διὸ ἐπίρρωσιν, καὶ ταχυτάτην ὑγείαν, δεομένοις δούλοις σου, δίδου Γεννάδιε.

Ἁγιώτατε Πάτερ, θαυματουργός πέφηνας, τοῖς ἐν ἀσθενείαις ζητοῦσι, τό θεῖον ἔλεος· ὅθεν ἐκ βάθους παθῶν καὶ τῆς δαιμόνων κακίας, ῥῦσαι ἱκετεύομεν, ἡμᾶς φωνοῦντάς σε.

Θεοτοκίον.

Θεοτὸκε Παρθένε, πάντων πιστῶν στήριγμα, καὶ τῶν μονοτρόπων τὸ τεῖχος, Σὺ καθοδήγησον, πρὸς τὰς ὀδοὺς τοῦ Χριστοῦ, ψυχὰς ποθούσας βιῶναι, ἐν σαρκὶ ἰσάγγελον, σεμνόν πολίτευμα.

Διὰσωσον αἱρετιζόντων κακὶας ὦ Ἱεράρχα, ὅτι πέλεις πρὸς τὸν Χριστὸν ἱκέτης ἀκοίμητος, ὑπὲρ τῶν δογμάτων τῆς Ἐκκλησίας.

Ἐπίβλεψον ἐν εὐμενεία Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα.Ἦχος β΄. Πρεσβεία θερμὴ.

Πρεσβεὶαν τὴν σὴν πλουτοῦντες ὦ Γεννάδιε, ποικίλων δεινῶν καὶ νόσων ἐκλυτρούμεθα, ἐκτενῶς βοῶντὲς σοι· Ὀρθοδόξων προστὰτα καὶ πρόμαχε, κακακωμὲνοις κατ’ἄμφω ἡμῖν, χαρὶσειας θεὶαν ἀνάπαυσιν.

ᾨδή δ΄. Εἰσακήκοα Κύριε.

Ἐκκλησίαν κατάρδευσον, ῥείθροις εὐλογίας σου ὦ Γεννὰδιε, ἵν’ εἰρήνης ἀπολαύουσα, διαφεύγει κλύδωνα αἱρέσεων.

Ῥωμαλέῳ φρονήματι, πλὰνην μίας φύσεως κατετρόπωσας, διὸ πάντας καταξίωσον, ὀρθοδόξῳ τῷ νοΐ πορεύεσθαι.

Μόνος μόνῳ Γεννάδιε, Νυμφίῳ ἐπεπόθησας συναυλίζεσθαι, τῆς ἐρήμου ὅθεν ἔρωτα, βάθει τῆς καρδίας μου ἐκκέντρισον.

Θεοτοκίον.

Ἡ ἐλπίς μου ὦ Δέσποινα, ἡ τῆς σωτηρίας μου ἀκαταίσχυντος, ἐκ τῆς Σῆς γλυκείας χάριτος, καθ'ἑκὰστην ἔμπλησον τὸν δοῦλόν Σου.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἴασαι ἡμᾶς, τοὺς νοσοῦντας ὦ Γεννάδιε, ἐκ κατάρρου καὶ τῆς γρίππης τῶν δεινῶν, δι'ὧν μετέστης ἐκ τῆς γῆς πρὸς τὰ οὐράνια.

Ἔσπευσας σεπτὲ, ὥσπερ ἔλαφος ἀλλὸμενος, πρὸς τὰ ὄρη ἀρωμάτων τῆς Σιὼν, ἐξ ὧν τὴν δρόσον Ἀερμὼν ἡμῖν ἐνστάλαξον.

Θεοτοκίον.

Ῥᾶνον γλυκασμὸν, τοῖς προστρέχουσι Σῇ χὰριτι, κεκμηκὸσι ἐκ τοῦ βίου μεριμνῶν, τοῖς ποθοῦσι Σὴν ἀνάπαυσιν. ὦ Δὲσποινα.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Ὁδήγησον, πρὸς νομὴν σωτήριον, ὡς ποιμὴν τε ὁ καλός θεοφόρε, τῶν Ὀρθοδόξων καρδίας διψώσας, τὴν τῶν δογμὰτων καὶ ἤθους ἀκρίβειαν, ἀποδιώκων τοὺς βαρεῖς, τῶν αἱρέσεων λύκους τούς ἅρπαγας.

Μυρίπνοον, Ἱερὰρχα Ὅσιε, εὐωδίαν Παρακλήτου παράσχου, τῇ σῇ θερμῇ πρός Χριστὸν μεσιτείᾳ,

πολεμουμένοις ἐκ δαὶμονος δούλοις σου· καὶ γὰρ ὡς λέων ἐφορμᾶ, ὡς είδὼς τοῦ καιροῦ τὸ βραχύτατον.

Ὑάκινθον, μυρεψὲ Γεννὰδιε, τῶν ἀνθέων Παραδείσου γινώσκω, τήν ἐκ ποικίλων χαρίτων ζωήν σου, καί πολιτείαν ἐν Πνεύματι εὔοσμον· ὅθεν σὰ μῦρα τοῖς πιστοῖς, πρεσβειῶν σου ὑσσώπῳ διάχυσον.

Θεοτοκίον.

Στερέωσον, τοῦ νοὸς μου φρόνημα, ὦ Μαρία τῆς ζωῆς μου Κυρία, ἵνα Χριστὸν Σὸν υἱὸν καί Δεσπότην, ὁμολογῶ καθ᾽ἑκάστην Σωτῆρά μου. Ἵνα κάμοὶ ὁ Ἰησοῦς, βασιλείαν χαρὶσῃ ούράνιον.

Διάσωσον, ἀπό κινδύνων τὴν ποίμνην σου Ἱεράρχα, ὅτι πέλεις πρὸς τὸν Χριστὸν ἱκέτης ἀκοίμητος, ὑπέρ τῶν ἀγὼνων τῆς Ἐκκλησίας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος γ'. Ἐπεφάνης σήμερον.

Ὤφθης μὲγας ἥλιος τῆς Νὲας Ρὼμης, φωτίσας τῷ Πνεύματι, καὶ ἐν ἀγίᾳ βιωτῇ, διαπορθμεύεις Γεννὰδιε, Χριστοῦ τὴν χὰριν, τοῖς κάμνουσι δούλοις σου.

Προκείμενον. *Τὸ στόμα μου λαλήσει σοφίαν, καί ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ. *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην (κεφ. ι΄ 9-16).

Εἶπεν ὁ Κύριος· ἐγώ είμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰμὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτά καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός καὶ γινώσκω τὰ ἐμά καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα με δεῖ ἀγαγεῖν καὶ τῆς φωνῆς μου ἀκούσουσι καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Δὸξα. Ταῖς τοῦ Ἱεράρχου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Προσόμοιον. Ἦχος πλ. δ΄. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Ἅγιε Γεννάδιε, τῆς Νέας Ῥώμης τὸ κλέος, Πρωτοθῦτα μέγιστε, μιμητὰ πανἀξιε ταπεινώσεως, τοῦ ἁγίου θύματος, δι'ὅν καὶ τὸν θρόνον, μυστικῶς

ἐγκαταλέλειπας, Χριστόν ὠνήσασθαι, δόξαν ἐς ἀεὶ διαμένουσαν· διοπέρ καὶ κατέλαβες, ὄρη ἀρωμάτων τὰ ἔνθεα, ἐξ ὧν ἱκετεύεις, Θεὸν ταπεινωθέντα δι'ἡμᾶς, τῆς ταπεινώσεως γεύσασθαι, χάριτος τοὺς δούλους σου.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ταπεινῶς δέομαί σου, κατανύξεως θείας καὶ εὐλαβείας θερμῆς, πληρῶσαι τὴν καρδίαν, ἀθλίου σου οἰκέτου, ἵνα βοήσῃ πρὸς Κύριον· εὐλογητὸς ὁ Θεὸς τοῦ Γενναδίου. Ἀμὴν.

Ἡσυχίᾳ καρδίας, προσευχόμενος Πάτερ, ἐπαπειλοῦντα σατὰν, ἑώρακας ὡς φάσμα, ἁγίων εἰς τὰ ἔνδον, διὸ πάντες σοὶ κράζομεν· ἐπηρειῶν τῶν αὐτοῦ, ῥῦσαι τοὺς σοὺς ἱκέτας.

Γενναδίῳ προστρέχω, Θεανθρώπου τῇ πίστει, ἐπιστηρίξαι στερρῶς, πάντας τοὺς Ὀρθοδόξους, βιοῦντας ὁμορφόνως καὶ βοῶντας πρὸς Κύριον· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Θεοτοκίον.

Εὐλογίας Σῆς ὕδωρ, ταῖς διψώσαις καρδίαις Θεογεννήτρια, παράσχου ἐκ πηγῆς Σου, ἁγίας Ζωηφόρου, τοῖς ἐν πόθῳ κραγυάζουσιν· εὐλογημένη Σὺ εἶ, Βασίλισσα τοῦ κόσμου.

## Ὠδή η΄. Τὸν Βασιλέα.

Ναμὰτων θείων, ἡ Ἐκκλησία πληροῦται, ἐκ σοροῦ ἀγίου Γενναδίου, ὅν ἐκ ψύχους εὗρον, θανόντα ἐν Κυρίῳ.

Νυκτός ἐν ψύχει, ἐκ τῆς βροτῶν ἀσπλαγχνίας, μόνος μόνῳ Θεῷ ὑπηντήθης· ὅθεν ὡς προστάτην, ψυχόντων σὲ τιμῶμεν.

Ἀγγέλων τάξεις, καθοδηγοῦσιν ὦ Πὰτερ, σὴν ψυχὴν εἰς Δεσπότου σου χεῖρας· τάξεις δὲ ἀνθρώπων, ὑμνοῦσιν εἰς αἰῶνας.

Θεοτοκίον.

Δαιμονοτρόπου, καί βδελυρᾶς ἀκηδίας, λυτρωθείην ἐλέει Σου Παρθένε, ἵνα Σοι προσάδω, τὸν ὕμνον εἰς αἰῶνας.

## Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Ἰοῦ τῆς ἀπειθείας, κάθαρον καρδίας, τῶν σὲ καλούντων προστάτην Γεννάδιε, ὁ ἀτακτοῦντα τὸν θύτην τιμωρησάμενος.

Ὡσεὶ ξὲνος καὶ πένης, νύκτωρ καί ἐκ ψύχους, καταλιμπάνεις τῶν κάτω τὸ ἄστατον, ἵν᾽ἐκ τῶν ἄνω σκορπίζεις πένησι χάριτας.

Μετάνοιάν μοι δίδου, τρίβους μετανοίας, ὁ καθ᾽ἐκὰστην βαδίσας θεόπνευστε, καί χρηματὶσας ἐν πᾶσι, βίου ὑπόδειγμα.

Θεοτοκίον.

Μαρία μου Κυρία, ἄφεσιν πταισμὰτων, σῷ μελωδοῦντι ἐξαίτει τὸν Κύριον, σὺν Γενναδίῳ δοθῆναι, ὥρα τῆς Κρίσεως.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Τὸν ἐν Ἱεράρχαις θαυματουργόν, θρόνου Νέας Ρώμης τὸν φωστῆρα τὸν φαεινόν, προστὰτην τῶν πενήτων, αἱρετικῶν τὸν φόβον, Γεννὰδιον τὸν θεῖον, ὕμνοις τιμήσωμεν.

Χαίροις Ὀρθοδόξων κλὲος λαμπρὸν, καὶ τῆς Ἀνασσούσης πρωτοθρόνου ποιμνιαρχῶν· χαὶροις τῶν ὀρέων Σιὼν κρυφιομύστης, καί Ἐκκλησίας Κύπρου, τὸ μέγα καύχημα.

Μαινὸμενον φάσμα ἑωρακὼς, ἄρχοντα τοῦ σκότους ἀπειλοῦντα καταστροφὴν, ὥρα σῆς θυσίας, ἀπὲτρεψας εὐχαῖς σου, καλύπτων τὴν σὴν ποίμνην, νεφέλη χάριτος.

Ὑμνὴσωμεν πάντες θεοπρεπῶς, φύσεων τῶν δύο ἀκατάβλητον μαχητὴν, τὸν θρόνον καὶ τὴν δόξαν, κρυφῇ καταλιπόντα, δι’ἔρωτα τὸν θεῖον, ἐρήμου κρείττονος.

Ψυγεὶσης ἀγάπης ἁμαρτωλῶν, τὸν θεῖον ἀλείπτην, παρακλὴτορα στοργικόν, ὥσπερ καὶ νοσούντων, ἐκ ψὺχους καὶ κατὰρρου, τὸν ἰατρὸν καὶ ῥύστην, ὕμνοις τιμὴσωμεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἀπολυτὶκιον. Ἦχος πλ. α΄. Τὸν συνὰναρχον Λόγον.

Ἀρετῶν ταῖς ἰδέαις κατακοσμούμενον, τῆς Ἐκκλησίας ἐδεὶχθης Ἀρχιεράρχης σοφὸς, καὶ ποιμὴν ἀληθινός πὰτερ Γεννάδιε, ὡς θεράπων τοῦ Χριστοῦ καὶ Ὁσὶων κοινωνος, ἐν πάση δικαιοσὺνη. Καὶ νῦν δυσώπει ἀπαύστως, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τοῦ Ἁγίου καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.

Δὸς μοι δέομαί σου ἀγαθὲ, ἐκ σῆς ταπεινώσεως πλούτου, τὸν μυστικόν γλυκασμόν, ἥτις καὶ σὲ ἤνεγκεν ἕως θανάτου πικροῦ, ἐν νυκτὶ καὶ ὡς ἄγνωστον, Χριστοῦ ξενιτεἰαν, ἀξἰως μιμοὺμενον, διὸ οἱ Κύπρου πιστοἱ, νόσων ἰατρόν καἰ πενὴτων, σὲ ἐπικαλοῦνται προστάτην, θείῳ τῷ Ναῷ σου αὐλιζόμενοι.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου είς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δίστιχον·

*Μελὰνη πλέκει Γενναδίῳ τόν ὕμνον,*
*Ἐλπιοῦσα λαμβάνειν θέρμην ἀγάπης.*